ἔβαλον αὐτὸν ἐπὶ τῶν ὀρέων, ἐν πάσαις ταῖς φάραγξιν ἔπεσαν οἱ
κλάδοι αὐτοῦ, καὶ συνετρίβη τὰ στελέχη αὐτοῦ ἐν παντὶ πεδίῳ τῆς
γῆς, καὶ κατέβησαν ἀπὸ τῆς σκέπης αὐτῶν πάντες οἱ λαοὶ τῶν
13 ἐθνῶν καὶ ἠδάφισαν αὐτόν. [13]ἐπὶ τὴν πτῶσιν αὐτοῦ ἀνεπαύσαντο
πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἐπὶ τὰ στελέχη αὐτοῦ ἐγένοντο
14 πάντα τὰ θηρία τοῦ ἀγροῦ, [14]ὅπως μὴ ὑψωθῶσιν ἐν τῷ μεγέθει
αὐτῶν πάντα τὰ ξύλα τὰ ἐν τῷ ὕδατι· καὶ οὐκ ἔδωκαν τὴν ἀρχὴν
αὐτῶν εἰς μέσον νεφελῶν καὶ οὐκ ἔστησαν ἐν τῷ ὕψει αὐτῶν
πρὸς αὐτὰ πάντες οἱ πίνοντες ὕδωρ, πάντες ἐδόθησαν εἰς θάνατον
εἰς γῆς βάθος ἐν μέσῳ υἱῶν ἀνθρώπων πρὸς καταβαίνοντας εἰς
15 βόθρον. — [15]τάδε λέγει κύριος κύριος Ἐν ᾗ ἡμέρᾳ κατέβη εἰς
ᾅδου, ἐπένθησεν αὐτὸν ἡ ἄβυσσος, καὶ ἐπέστησα τοὺς ποταμοὺς
αὐτῆς καὶ ἐκώλυσα πλῆθος ὕδατος, καὶ ἐσκότασεν ἐπ᾽ αὐτὸν ὁ
16 Λίβανος, πάντα τὰ ξύλα τοῦ πεδίου ἐπ᾽ αὐτῷ ἐξελύθησαν. [16]ἀπὸ
τῆς φωνῆς τῆς πτώσεως αὐτοῦ ἐσείσθησαν τὰ ἔθνη, ὅτε κατεβί-
βαζον αὐτὸν εἰς ᾅδου μετὰ τῶν καταβαινόντων εἰς λάκκον, καὶ
παρεκάλουν αὐτὸν ἐν γῇ πάντα τὰ ξύλα τῆς τρυφῆς καὶ τὰ ἐκλεκτὰ
17 τοῦ Λιβάνου, πάντα τὰ πίνοντα ὕδωρ. [17]καὶ γὰρ αὐτοὶ κατέβησαν
μετ᾽ αὐτοῦ εἰς ᾅδου ἐν τοῖς τραυματίαις ἀπὸ μαχαίρας, καὶ τὸ
σπέρμα αὐτοῦ, οἱ κατοικοῦντες ὑπὸ τὴν σκέπην αὐτοῦ, ἐν μέσῳ
18 τῆς ζωῆς αὐτῶν ἀπώλοντο. [18]τίνι ὡμοιώθης; κατάβηθι καὶ κατα-
βιβάσθητι μετὰ τῶν ξύλων τῆς τρυφῆς εἰς γῆς βάθος· ἐν μέσῳ
ἀπεριτμήτων κοιμηθήσῃ μετὰ τραυματιῶν μαχαίρας. οὕτως Φαραω
καὶ τὸ πλῆθος τῆς ἰσχύος αὐτοῦ, λέγει κύριος κύριος.
32 [1]Καὶ ἐγένετο ἐν τῷ ἑνδεκάτῳ ἔτει ἐν τῷ δωδεκάτῳ μηνὶ μιᾷ τοῦ
2 μηνὸς ἐγένετο λόγος κυρίου πρός με λέγων [2]Υἱὲ ἀνθρώπου, λαβὲ
θρῆνον ἐπὶ Φαραω βασιλέα Αἰγύπτου καὶ ἐρεῖς αὐτῷ Λέοντι ἐθνῶν
ὡμοιώθης καὶ σὺ ὡς δράκων ὁ ἐν τῇ θαλάσσῃ καὶ ἐκεράτιζες τοῖς
ποταμοῖς σου καὶ ἐτάρασσες ὕδωρ τοῖς ποσίν σου καὶ κατεπάτεις
3 τοὺς ποταμούς σου. [3]τάδε λέγει κύριος Καὶ περιβαλῶ ἐπὶ σὲ δίκτυα

13 εγινοντο B† || 14 παντα] pr. και B*† | ουκ 1⁰ > B† | αυτα] -τον A | παντες ult.] pr. αλλα A; pr. οτι *L* (in *O* sub ※) | γης βαθος] γην βαθους A*L* compl.: item Apau. in 18 32 24 || 15 κυριος κυριος (cf. 2 4)] αδωναι κυριος A: cf. 5 5 | επενθησεν — λιβανος] επεστησα επ αυτον την αβυσσον και εκωλυσα τους ποταμους αυτης και εκωλυσεν πληθος υδατος και(>A*) επενθησεν αυτον ο λιβανος και εξεστησαν επ αυτω A || 16 init.] pr. και A | απο — αυτου / εσεισθ. τα(>A†) εθνη] tr. A | γη Bpau.] + κατω A: cf. 𝔐 || 17 εν τοις τραυμ. απο μαχ.] μετα τραυματιων μαχαιρας A | οι] pr. παντες A || 18 γης βαθος: cf. 14 | το B†] pr. παν rel. = 𝔐

32 1 ενδεκατω] δωδεκ. B = 𝔐, δεκ. *L* | δωδεκατω = 𝔐] δεκ. BA^c || 2 και συ Ra. = 𝔐] tr. mss. | δρακων] pr. ο A† | τοις ποταμοις] τους -μους A, pr. εν *L* = 𝔐 | υδωρ] pr. το A || 3 κυριος B†] pr. αδωναι A: cf. 11. 14 5 5 | δικτυα] -υον μου A = 𝔐 (μου in *O* sub ※, > B†)

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/830 UNIVERSITÄT LEIPZIG